ις Ἐὰν δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους ὦσιν, οὐκ ἔσται
ὡς ὁ πρῶτος πρὸς τὸν δεύτερον οὕτως ὁ δεύτερος
πρὸς ἄλλον τινά. δύο ἀριθμοὶ οἱ Α Β πρῶτοι πρὸς ἀλ-
λήλους ἔστωσαν. λέγω ὅτι οὐκ ἔστιν ὡς ὁ Α πρὸς τὸν Β οὕ-
τως ὁ Β πρὸς ἄλλον τινά. εἰ γὰρ δυνατὸν ἔστω ὡς ὁ Α
πρὸς τὸν Β ὁ Β πρὸς τὸν Γ. οἱ δὲ Α Β πρῶτοι. οἱ δὲ πρῶ-
τοι καὶ ἐλάχιστοι. οἱ δὲ ἐλάχιστοι ἀριθμοὶ μετροῦσι τοὺς
τὸν αὐτὸν λόγον ἔχοντας ἰσά-
κις. μετρεῖ ἄρα ὁ Α τὸν Β ὡς
ἡγούμενος ἡγούμενον. με-
τρεῖ δὲ καὶ ἑαυτόν. ὁ Α ἄρα
τοὺς Α Β μετρεῖ πρώτους ὄν-
τας πρὸς ἀλλήλους. ὅπερ
ἄτοπον. οὐκ ἄρα ἐστὶν ὡς
ὁ Α πρὸς τὸν Β οὕτως ὁ Β πρὸς
τὸν Γ. ὅπερ ἔδει δεῖξαι.

α β γ

ιζ Ἐὰν ὦσιν ὁσοιδηποτοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον, οἱ
δὲ ἄκροι αὐτῶν πρῶτοι πρὸς ἀλλήλους ὦσιν, οὐ-
κ ἔσται ὡς ὁ πρῶτος πρὸς τὸν δεύτερον οὕτως ὁ ἔσχα-
τος πρὸς ἄλλον τινά. ἔστωσαν ὁσοιδηποτοῦν ἀρι-
θμοὶ ἑξῆς ἀνάλογον οἱ Α Β Γ Δ. οἱ δὲ ἄκροι αὐτῶν οἱ
Α Δ πρῶτοι πρὸς ἀλλήλους ἔστωσαν. λέγω ὅτι οὐκ ἔ-
στιν ὡς ὁ Α πρὸς τὸν Β οὕτως ὁ Δ πρὸς ἄλλον τινά. εἰ
γὰρ δυνατὸν ἔστω ὡς ὁ Α πρὸς τὸν Β οὕτως ὁ Δ πρὸς
τὸν Ε. ἐναλλὰξ ἄρα ἐστὶν ὡς ὁ Α πρὸς τὸν Δ ὁ Β πρὸς
τὸν Ε. οἱ δὲ Α Δ πρῶτοι. οἱ δὲ πρῶτοι καὶ ἐλάχιστοι.

οἱ δὲ ἐλάχιστοι ἀριθμοί. μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας
ἰσάκις. ὅ τε ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος
τὸν ἑπόμενον. μετρεῖ ἄρα ὁ Α τὸν Β. καὶ ἔστιν ὡς ὁ Α πρὸς
τὸν Β ὁ Β πρὸς τὸν Γ. καὶ ὁ Β ἄρα τὸν Γ μετρεῖ. ὥστε καὶ ὁ Α
τὸν Γ μετρεῖ. καὶ ἐπεί ἐστιν ὡς ὁ Β πρὸς τὸν Γ ὁ Γ πρὸς τὸν
Δ. μετρεῖ δὲ ὁ Β τὸν Γ. μετρεῖ ἄρα καὶ ὁ Γ τὸν Δ. ἀλλ' ὁ Α
τὸν Γ μετρεῖ. ὥστε ὁ Α
τὸν Γ μετρεῖ. ὥστε ὁ Α καὶ
τὸν Δ μετρεῖ. μετρεῖ δὲ καὶ
ἑαυτόν. ὁ Α ἄρα τοὺς
Α Δ μετρεῖ πρώτους ὄν-
τας πρὸς ἀλλήλους. ὅ-
περ ἐστὶν ἀδύνατον. οὐ-
κ ἄρα ἔσται ὡς ὁ Α πρὸς
τὸν Β. οὕτως ὁ Δ πρὸς
ἄλλον τινά. ὅπερ ἔδει δεῖξαι.

α β γ δ ε
κδ ιϛ ιβ θ
κζ ιη ιβ η

ιη Δύο ἀριθμῶν δοθέντων ἐπισκέψασθαι εἰ δυνατόν ἐστιν
αὐτοῖς τρίτον ἀνάλογον προσευρεῖν. ἔστωσαν οἱ δο-
θέντες δύο ἀριθμοὶ οἱ Α Β. καὶ δέον ἔστω ἐπισκέψασθαι
εἰ δυνατόν ἐστιν αὐτοῖς τρίτον ἀνάλογον προσ-
ευρεῖν. οἱ δὴ Α Β ἤτοι πρῶτοι πρὸς ἀλλήλους εἰσὶν ἢ οὔ. εἰ μὲν
οὖν πρῶτοι πρὸς ἀλλήλους εἰσίν. δέδεικται ὅτι ἀ-
δύνατόν ἐστιν αὐτοῖς τρίτον ἀνάλογον προσευρεῖν.
ἀλλὰ δὴ μὴ ἔστωσαν οἱ Α Β πρῶτοι πρὸς ἀλλήλους.
καὶ ὁ Β ἑαυτὸν πολλαπλασιάσας τὸν Γ ποιείτω. ὁ Α
δὴ τὸν Γ ἤτοι μετρεῖ ἢ οὐ μετρεῖ. μετρείτω πρότερον